Ταῦτα καὶ ὁ Διογενειανὸς παρὰ Πλουτάρχῳ ἀκροάματα ὀνομάζει· Ἐπιμαρτυρεῖ δὲ καὶ Δίων ὁ Χρυσόστομος φάσκων, « Τοὺς μὲν ἄλλους ἀνθρώπους ἡ μέθη πρὸς ᾠδὴν τρέπει καὶ ὄρχησιν, παρ' ὑμῖν δὲ τοὐναντίον· ἡ γὰρ ᾠδὴ μέθην ἐμποιεῖ καὶ ὄρχησιν » (3). Ἐχρῶντο δὲ παρὰ πότον οἱ παλαιοὶ τῷ Σκολιῷ καλουμένῳ μέλει, ὃ καὶ Παροίνιον ἐλέγετο. Τοῦτο δὲ οὐχ οἱ τυχόντες, ἀλλὰ σοφοὶ ἄνδρες ᾖδον διὰ τούτου τὰ βιωφελῆ πράγματα, ὡς μαρτυρεῖ ὁ τοῦ Ἀριστοφάνους Σχολιαστὴς (4) λέγων· « Ὡς μὲν Δικαίαρχος (5) ἐν τῷ περὶ μουσικῶν ἀγώνων, ὅτι τρία γένη ἦν ᾠδῶν· τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς, τὸ δὲ ὑπὸ τῶν συνετωτάτων ὡς ἔτυχε τῇ τάξει, ὃ δὴ καλεῖται Σκολιόν. Ὡς δὲ Ἀριστόξενος καὶ Φόλις ὁ μουσικὸς, ὅτι ἐν τοῖς γάμοις παρὰ μίαν τράπεζαν κλίνας τιθέντες παρὰ μέρος, ἑξῆς μυρρίνας ἔχοντες, ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. Ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο, διὰ τὴν θέσιν τῶν κλινῶν σκολιὰν οὖσαν ». Ἄλλοι ὅμως λέγουσιν (6), ὅτι τὸ Σκολιὸν μέλος « ἀπὸ τῶν μεθυόντων λέγεται, οἵπερ σκολιὰ ἔχουσι τὰ αἰσθητήρια, ἢ ὅτι προκατειλημμένων ἤδη τῶν αἰσθητηρίων, καὶ παρειμένων οἴνῳ τῶν ἀκροατῶν, τηνικαῦτα ἡ βάρβιτος (7) εἰσεφέρετο εἰς τὰ συμπόσια, καὶ διονυσιάζοντα ἕκαστον ἀκροσφαλῶς συγκόπτεσθαι περὶ τὴν προφορὰν τῆς ᾠδῆς· ὅπερ οὖν ἔπασχον αὐτοὶ διὰ τὴν μέθην, τοῦτο τρέψαντες εἰς τὸ μέλος, Σκολιὸν ἐκάλεσαν » (8). Ἦδον οὖν οἱ ἀρχαῖοι

---

[1] Ὀλυμπ. Α'. [2] Ὀδ. Α'. 152. [3] Λόγ. πρὸς τοὺς Ἀλεξανδρ. [4] Ἐν Βατράχ. 1337. [5] Ὁ Δικαίαρχος οὗτος ἦν υἱὸς Φειδίου Μεσσήνιος, μαθητὴς Ἀριστοτέλους, ῥήτωρ καὶ φιλόσοφος, ὃν ὁ Κικέρων ὀνομάζει ἱστορικώτατον. Ἔγραψε καὶ ἄλλα, ὧν μέμνηται Σέξτος, Σουΐδας καὶ Ἀθήναιος· Ἔτι δὲ καὶ Βιβλίον περὶ μουσικῶν ἀγώνων, οὗ ὁ τοῦ Ἀριστοφ. Σχολιαστὴς καὶ ἐν Σφηξὶ στίχ. 1190 μέμνηται. (6) Πρόκλ. ἔνθ. ἄνωτ καὶ Ἐτυμολ. ἐν λ— (7) Εἶδος μουσικοῦ πολυχόρδου ὀργάνου, λύρα, κιθάρα, λαγοῦτον. (8) Σκολιὸν ᾆσμα ἢ μέλος, εἶδος ᾠδῆς, τὴν ὁποίαν ἐτραγῳδοῦσαν μὲ τὴν λύραν εἰς τὰ συμπόσια, ὀνομασθείσης οὕτω διὰ τὴν σκολιότητα (τὸ ἄτακτον) τοῦ ῥυθμοῦ, ἢ διὰ τὸν τρόπον κατὰ τὸν ὁποῖον διεδέχοντο ἀλλήλους οἱ τραγῳδισταί. Λεξ. Σ. Βυζαντ.

χορεύοντες ἐν αὐλοῖς καὶ κιθάρᾳ, ὡς ὁ Λουκιανὸς λέγει (1), «ἐν Δήλῳ δέ γε οὐδὲ αἱ θυσίαι ἄνευ ὀρχήσεως, ἀλλὰ σὺν ταύτῃ, καὶ μετὰ μουσικῆς ἐγίνοντο. Παίδων χοροὶ συνελθόντες ὑπ' αὐλῷ καὶ κιθάρᾳ, οἱ μὲν ἐχόρευον κτλ.» Ἄνδρες δὲ καὶ γυναῖκες, καθ' Ὅμηρον, ἐχόρευον «ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες» (2)· Ἔνθα φησὶν Εὐστάθιος, «φασὶ δὲ οἱ παλαιοὶ, ὅτι κεχωρισμένως χορευόντων τῶν πρὶν ἀνδρῶν τε καὶ γυναικῶν, πρῶτοι οἱ μετὰ Θησέως σωθέντες ἑπτὰ ἠίθεοι καὶ τοσαῦται παρθένοι, ἀναμὶξ ἐχόρευσαν ὑπὸ Καθηγητῇ τῷ Δαιδάλῳ κατὰ Κνωσσὸν πόλιν». Ἐχόρευον δὲ περὶ βωμοὺς ᾄδοντες σὺν φόρμιγγι, ὡς μαρτυρεῖ Ῥόδιος ὁ Ἀπολλώνιος λέγων (3)·

«Οἱ δ' ὥστ' ἠίθεοι Φοίβῳ χορὸν . . . .
. . . . . .
Στησάμενοι φόρμιγγος περὶ βωμὸν ὁμαρτῇ
Ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν».

Οὕτω καὶ Καλλίμαχος ἐν ὕμνῳ εἰς Δῆλόν φησι (4)

«Πότνια σὸν περὶ βωμὸν ἐγειρομένου κιθαρισμοῦ
Κύκλιον ὠρχήσαντο . . . .»

Ἐξ οὗ περ δῆλον, ὅτι καὶ Κύκλιοι ἐκαλοῦντο οἱ χοροὶ, οὓς ὁ Ἀριστοφάνης, Εὔκυκλον χορείαν καλεῖ (5)· Καὶ ἐν ἄλλοις δὲ ἡ ᾠδὴ ἐπεκράτει, οἷον, ἐν ταῖς τῶν Τρώων παρεμβολαῖς ἠκούετο «Αὐλῶν, συρίγγων τ' ἐνοπὴ» (6). Ὡσαύτως καὶ ἐν τοῖς ἀγροῖς ἐν καιρῷ τρυγητοῦ,

«Τοῖσιν δ' ἐν μέσοισι παὶς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζεν . . . .» (7)

Ἀλλὰ καὶ οἱ νομεῖς διῆγον «τερπόμενοι σύριγξι» (8)· Καὶ τὰ Θεοκρίτου δὲ Βουκολικὰ, καὶ τὰ Μόσχου, καὶ τὰ Οὐϊργιλίου εἰς τοῦτο ἀνήκουσιν. Ἐν δὲ τοῖς γάμοις, ὀρχήσεως γενομένης ὑπὸ συμφωνίᾳ μουσικῶν ὀργάνων, ᾆσμα προσῄδετο ὁ ὑμέναιος, καθά φησιν Ὅμηρος (9),

«. . . πολὺς δ' ὑμέναιος ὀρώρει·
Κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
Αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον . . .»

Τοῦτον δὲ τὸν ὑμέναιον αἱ τῆς νύμφης φίλαι νεάνιδες κατ' ἐξοχὴν εἰώθεσαν ᾄδειν, κατὰ Πίνδαρον λέγοντα (10)·

---

(1) Περὶ ὀρχήσ. (2) Ἰλ. Στίχ. 590—4. (3) Ἀργοναυτικ. Βιβλ. α'. 536. (4) Στίχ. 313. (5) Ἐνθεσμοφοριαζ. 977. (6) Ἰλ. Κ. 13. (7) Αὐτόθ. Σ. 569. (8) Αὐτόθ. 526. (9) Αὐτόθ. 493. (10) Πύθ. Γ'.

« Οὐκ ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν·
οὐδὲ συμφώνων ἰαχὰν
ὑμεναίων· ἅλικες
οἷα παρθένοι φιλέοισιν ἑταῖραι
ἑσπερίαις ὑποκου-
ρίζεσθ' ἀοιδαῖς. »

Τὸ γαμήλιον τοῦτο ᾆσμα παρὰ Πολυδεύκει ὀνομάζεται Ὑμὴν καὶ Ὑμέναιος, ὅπερ καὶ Ῥωμαῖοι μετ' ἄλλων γαμηλίων ἐθῶν παρ' Ἑλλήνων παρέλαβον, ὡς Τερέντιος ἔχει ἐν Ἀδελφοῖς λέγων·

« Ὑμέναιον, θορύβους, λαμπάδας, αὐλῳδούς ».

Καὶ ἐκ τῶν προειρημένων δὲ καὶ ἐξ ὧν ἀλλαχοῦ Ὅμηρος λέγει, γίνεται φανερὸν, ὅτι οἱ ἀρχαῖοι συνῆπτον πάντοτε τὴν Μουσικὴν μετὰ τῆς ὀρχήσεως ἐν τοῖς γάμοις. Οὕτως ἐν τῷ τοῦ Μεγαπένθους γάμῳ (1),

« . . . μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδὸς
Φορμίζων· δοιὼ δὲ κυβιστῆρε κατ' αὐτοὺς,
Μολπῆς ἐξάρχοντες, ἐδίνευον κατὰ μέσσον. »

Καὶ ὅτε Ὀδυσσεὺς ἐλθὼν εἰς τὴν αὐτοῦ οἰκίαν, ὑπεκρίνετο ὅτι γάμους τελέσει ἰδίους, ἐκέλευσε θεῖον ἀοιδὸν, ἔχοντα φόρμιγγα λιγείην ἡγεῖσθαι φιλοπαίγμονος ὀρχηθμοῦ·

« . . . ὁ δ' εἵλετο θεῖος ἀοιδὸς
Φόρμιγγα γλαφυρὴν, ἐν δὲ σφισιν ἵμερον ὦρσεν
Μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο. » (2)

Καὶ Ἡσίοδος δὲ περιγράφων τὰ τῶν γάμων, λέγει· (3)

« Τοὶ μὲν ὑπαὶ λιγυρῶν συρίγγων ἴεσαν ἀοιδὴν,
Αἱ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα ».

Ἀλλ' ἐν καιρῷ πένθους οὐ θέμις ἦν κιθάρᾳ χρῆσθαι, ὡς ἐκ τῶν τοῦ Αἰσχύλου ἐν Ἱκέτισι (689—94) φαίνεται. Καὶ ταῦτα μὲν περὶ τοῦ κοινοῦ χοροῦ.

§ 13. Θ'. Εἰς δὲ τὸν Τραγικὸν χορὸν ἐχρῶντο χορεύοντες αὐλοῖς καὶ ἁρμονίᾳ τῇ Μιξολυδιστὶ καὶ τῇ Δωρίῳ. Διὸ καὶ Πλούταρχος λέγει (4). « Τὴν δὲ Μιξολυδιστὶ ἁρμονίαν θρηνώδη καὶ Πλάτων ὠνόμασε (5). Καὶ ἡ Μιξολύδιος δὲ παθητική τίς ἐστι Τραγῳδίαις ἁρμόζουσα (6). Ἀριστόξενος δέ φησι Σαπφὼ πρώτην

(1) Ὀδ. Δ. 17. (2) Αὐτόθ. ψ. 145. (3) Ἡρακλ. Ἀσπ. 278 καὶ 280. (4) Περὶ Μουσικ. (5) Πλάτ. Πολιτ. γ'. (6) « Ἐν τοῖς χρόνοις τοῖς μετὰ τὴν ἅλωσιν Τροίης παρ' Ἕλλησιν ἐθαυμάζετο πρῶτος Θέμις ὀνόματι. Ἐξεῦρε γὰρ οὗτος τραγικὰς μελῳδίας, καὶ πρῶτος ἐξέθετο δράματα. Μετὰ δὲ τοῦτον Μίνως, καὶ μετὰ Μίνωα, Αὐλέας Τραγικοὺς χοροὺς δραμάτων συνεγράψατο. » Ἰωάνν. Μαλαλ. χρονογραφ. λόγ. ε.

εὕρασθαι τὴν Μιξολυδιστὶ, παρ' ἧς τοὺς Τραγικοὺς μαθεῖν. Λαβόντας γοῦν αὐτὴν συζεῦξαι τῇ Δωριστί· ἐπεὶ ἡ μὲν ἀξιωματικὸν καὶ μεγαλοπρεπὲς ἀποδίδωσιν, ἡ δὲ τὸ παθητικόν· μέμικται δὲ διὰ τούτων ἡ Τραγῳδία » (1)· Ὡσαύτως καὶ Ἀριστοτέλης φησί· « Διὰ τί οἱ ἐν Τραγῳδίᾳ χοροὶ, οὐθ' ὑποδωριστὶ, οὐθ' ὑποφρυγιστὶ ᾄδουσιν; Ἢ ὅτι τὸ μέλος ἥκιστα ἔχουσιν αὗται αἱ ἁρμονίαι, οὗ δεῖ μάλιστα τῷ χορῷ. Ἦθος δὲ ἔχει, ἡ μὲν ὑποφρυγιστὶ, πρακτικόν· ἡ δὲ δωριστὶ, μεγαλοπρεπὲς καὶ στάσιμον· διὸ καὶ κιθαρῳδικωτάτη ἐστὶ τῶν ἁρμονιῶν. Ταῦτα δὲ ἄμφω χορῷ μὲν ἀνάρμοστα, τῆς δὲ ἀπὸ σκηνῆς οἰκειότερα· ἐκεῖνοι μὲν γὰρ ἡρώων μιμηταί· οἱ δὲ ἡγεμόνες τῶν ἀρχαίων μόνον ἦσαν ἥρωες, οἱ δὲ λαοὶ, ἄνθρωποι, ὧν ἐστιν ὁ χορός· διὸ καὶ ἁρμόζει αὐτῷ τὸ γοερὸν καὶ ἡσύχιον ἦθος καὶ μέλος (ἀνθρώπινα γάρ). Ταῦτα δὲ ἔχουσιν αἱ ἄλλαι ἁρμονίαι, ἥκιστα δὲ αὐτῶν ἡ ὑποφρυγιστὶ, ἐνθουσιαστικὴ γὰρ καὶ βακχική. Κατὰ μὲν οὖν ταύτην πάσχομέν τι (παθητικοὶ γὰρ οἱ ἀσθενεῖς μᾶλλον τῶν δυνατῶν εἰσι)· διὸ καὶ αὕτη ἁρμόττει τοῖς χοροῖς. Κατὰ δὲ τὴν ὑποδωριστὶ καὶ ὑποφρυγιστὶ, καὶ πράττομεν, ὃ οὐκ οἰκεῖόν ἐστι χορῷ· ἔστι γὰρ ὁ χορὸς κηδευτὴς ἄπρακτος· ἔννοιαν γὰρ μόνον παρέχεται, οἷς πάρεστιν » (2).

§. 14. Ι'. Ἐν γένει δὲ, τρία κυριώτερα εἴδη ἤθους μνημονεύονται, διασταλτικὸν, συσταλτικὸν καὶ ἡσυχαστικόν· « ἔστι δὲ διασταλτικὸν ἦθος μελοποιΐας, δι' οὗ σημαίνονται μεγαλοπρέπεια καὶ δίαρμα ψυχῆς ἀνδρῶδες, καὶ πράξεις ἡρωϊκαὶ καὶ πάθη τούτοις οἰκεῖα· χρῆται δὲ τούτοις μάλιστα μὲν ἡ Τραγῳδία, καὶ τῶν λοιπῶν δὲ ὅσα τούτον ἔχεται τοῦ χαρακτῆρος. Συσταλτικὸν δὲ, δι' οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διάθεσιν· ἁρμόσσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς πάθεσι, καὶ θρήνοις καὶ οἴκτοις καὶ τοῖς παραπλησίοις. Ἡσυχαστικὸν δὲ ἦθός ἐστιν, ᾧ παρέπεται ἠρεμότης ψυχῆς καὶ κατάστημα ἐλευθέριόν τε καὶ εἰρηνικόν· ἁρμόσσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβουλαὶ καὶ τὰ τούτοις ὅμοια ». (3)

§. 15. ΙΑ'. Τὸ δὲ ἀρχαιότατον σύστημα τῆς διὰ σημείων παραστάσεως φαίνεται συνιστάμενον εἰς τὸν προσδιορισμὸν τῶν τοῦ Ἀλφαβήτου γραμμάτων, ἵνα δηλῶνται οἱ διάφοροι φθόγγοι τῆς Κλίμακος· Καθ' ὅσον ἡ τῆς κλίμακος ἔκτασις ἐμεγαλύνετο, ἡ

---

(1) Πλούταρχ. Αὐτόθ. (2) Ἀριστοτ. Προβλημάτ. Τμήμ. 19. §. 49, καὶ 30, 31. (2) Εὐκλείδ. 21. Ἀριστείδ. 29.

μόνη γενομένη ἀλλοίωσις φαίνεται ἡ εἰσαγωγὴ νέων σημείων, ἅπερ ἐσχηματίζοντο ἢ διὰ γραμμάτων τονουμένων, ἢ διεστραμμένων, ἢ καὶ διαφόρως περιεκομμένων. Μεγάλη προὔξενεῖτο περιπλοκὴ ἐν τῇ χρήσει δύο διαφόρων σημείων δι' ἕκαστον φθόγγον, τοῦ μὲν διὰ τὴν φωνὴν, τοῦ δὲ διὰ τὸ ὄργανον. Ταῦτα δὲ τὰ δύο σημεῖα ἔγραφον ἄνωθεν τῆς συλλαβῆς, ἐν ᾗ ἀνῆκον, τὸ ἓν ὑπὲρ τὸ ἄλλο. Περὶ τούτων ἀρχαῖοι Ἕλληνες Συγγραφεῖς ἔγραψαν, πληρέστερον δὲ ὁ Ἀλύπιος, ἐκτιθεὶς τὰ σημεῖα, οἷς ἐχρῶντο διὰ τοὺς φθόγγους εἰς πεντεκαίδεκα τρόπους ἐν τοῖς τρισὶ γένεσιν, ἐπὶ διαγραμμάτων τεσσαράκοντα καὶ πέντε (1). Τὰ πρὸς τὰ ὄργανα σημεῖα δῆλον, ὅτι αὐθαιρέτως ἐξελέγοντο, ἐπειδὴ οὐδεὶς ἄχρι τοῦδε ἀνευρέθη νόμος ἐν αὐτοῖς, ἀλλὰ τὰ φωνητικὰ σημεῖα, ἃ καὶ ἀρχαιότερα ἴσως ἦν, φέρονται τακτικῶς. Οἱ κατὰ τὸ μέσον τῆς κλίμακος φθόγγοι τοῖς τοῦ Ἰωνικοῦ ἀλφαβήτου (2) γράμμασι δηλοῦνται λαμβανομένοις κατὰ τάξιν. Γράμματα τονούμενα ἢ ἄλλως μεταβεβλημένα ἐπὶ τῶν ὑψηλοτέρων καὶ χθαμαλωτέρων φθόγγων ἐτίθεντο. Πολὺς ἀπῃτεῖτο κόπος ἵνα μάθῃ τις ἐντελῶς τὸ σύστημα, καὶ ἡ δυσκολία αὐτῶν φαίνεται μεγαλοποιηθεῖσα ὑπό τινων Συγγραφέων (3). Ὀλίγα τινὰ παραδείγματα τῆς ἀρχαίας μελοποιΐας περιεσώθησαν δι' ἀρχαίων σημείων. Τὰ περὶ τούτων εὕρηνται παρὰ Burney (4), ἐκτιθέμενα διὰ τῶν ἤδη Εὐρωπαϊκῶν σημείων μετὰ ῥυθμοῦ ἐξ εἰκασίας. Τὰ δὲ ἄριστα τούτων δύναταί τις ἰδεῖν παρὰ Boeckh (5) μετὰ ῥυθμοῦ διαφόρου. Συντίθενται δὲ ταῦτα ἐκ τῶν ῥημάτων τῆς Α'. τῶν Πυθίων ᾠδῆς· ὑπολαμβάνει δὲ ὁ προμνημονευθεὶς Συγγραφεὺς, ὅτι καὶ γνήσια βεβαίως εἰσὶ, καὶ εἰς χρόνον ἀρχαιότερον τῶν 15 τόνων (modes) ἀνάγονται. Ἀλλὰ πᾶν ὅτι δυνάμεθα εἰπεῖν περὶ τούτου ἐστὶν, ὅτι οὐδεμίαν ἀκριβῆ ἰδέαν δύναταί τις ἤδη λαβεῖν περὶ τοῦ πραγματικοῦ ἀποτελέσματος αὐτῶν, ὅπως τὸ πάλαι ἐξετελοῦντο (6).

§ 16. Καὶ ταῦτα μὲν περὶ τῆς ἡμετέρας Μουσικῆς, τῆς

---

[1] Μάρκος ὁ Μεϊβώμιος ἐξέδοτο βίβλον μετὰ Λατινικῆς μεταφράσεως καὶ σχολίων, περιέχον τὰ Συγγράμματα, Διαγράμματα καὶ Σημεῖα ἑπτὰ Συγγραφέων Μουσικῶν Ἑλλήνων, Ἀριστοξένου, Εὐκλείδου, Νικομάχου, Ἀλυπίου, Γαυδεντίου, Βακχείου καὶ Ἀριστείδου. [2] Εἰς τὸν Σιμωνίδην ἀναφερομένου. [3] Ἴδε Boeckh, iii. 9. [4] Vol. 1. p. 83 [5] iii. 12. [6] Περὶ τῶν συγγραψάντων περὶ τῆς καθ' Ἕλληνας Μουσικῆς, ἴδε τὰ ὑπὸ Πελοπίδου μέχρι Φωκαητικῆν τοῦ ἀοιδίμου Χρυσάνθου Προύσης ἐν τῷ ἱστορικῷ μέρει.

Ἑλληνικῆς, τῆς Μουσικῆς τῶν περικλεῶν προγόνων ἡμῶν, τῆς Μουσικῆς τοῦ ἐνδόξου Ἔθνους ἡμῶν (1). Ἤδη δὲ ἀναδιφῶντες τὴν Παλαιὰν Διαθήκην, ἴδωμεν ἐν αὐτῇ καὶ τὴν καθ' Ἑβραίους Μουσικήν.

§. 17. Ὅτι μὲν ἡ τῶν Ἑβραίων Μουσικὴ, κατὰ τὸ εἶδος αὐτῆς, εἶχέ τι ἐξαίρετον καὶ τέλειον, συνάγεται ἔκ τε τοῦ ὕψους καὶ τῆς μεγαλειότητος τῶν ἐν τοῖς ψαλμοῖς τοῦ Προφητάνακτος περιεχομένων ὑποθέσεων, καὶ ἐκ τῶν θαυμασίων ἐνεργειῶν αὐτῆς, αἵτινες καταφαίνονται ἐν τῇ τοῦ Δαβὶδ κινύρα, δι' ἧς αὐτὸς ἀνέψυχε τὸν Σαοὺλ, ἐξελαύνων ἀπ' αὐτοῦ τὸ πονηρὸν πνεῦμα. « Καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαοὺλ, καὶ ἐλάμβανε Δαβὶδ τὴν κινύραν, καὶ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε Σαοὺλ, καὶ ἀγαθὸν αὐτῷ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν » (2). Περὶ δὲ τῆς ἰδιαιτέρας φύσεως καὶ ποιότητος τῆς Μουσικῆς ταύτης οὐδὲν ἀκριβῶς γινώσκομεν· βέβαιον δ' ὅμως ἐστὶν, ὅτι τὴν ψαλμῳδίαν συνώδευον καὶ ὄργανα μουσικὰ, οἷον τύμπανα, σάλπιγγες, κιθάραι καὶ ἄλλα. Καὶ πρῶτον τοῦτο φαίνεται ἐν τῇ ἱστορίᾳ τοῦ Ἰακὼβ, ὃν κρύφα φυγόντα ἀπὸ τοῦ πενθεροῦ Λάβαν, καταδιώξας αὐτὸς καὶ καταλαβὼν ἐπὶ τῶν ὀρέων Γαλαὰδ, πρὸς τοῖς ἄλλοις εἶπεν αὐτῷ καὶ ταῦτα· « Τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας; . .. . καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ' εὐφροσύνης, καὶ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ χορῶν » (3). Καὶ ἀπὸ τοῦ πυκνοῦ δὲ νέφους τοῦ περικαλύψαντος τὸ Σινᾶ Ὄρος, ὅτε ὁ Θεὸς ἐκάλεσε τὸν Μωϋσῆν, ἵνα δῷ αὐτῷ τὰς δέκα ἐντολὰς, μετὰ τῶν ἀστραπῶν καὶ βροντῶν ἠκούετο καὶ ἦχος σάλπιγγος. Ἀλλὰ καὶ αὐτὸς ὁ Θεὸς παραγγέλλει τῷ Μωϋσεῖ, περὶ τὰ τέλη τῆς διὰ τῆς ἐρήμου διαβάσεως τῶν Ἑβραίων, τὴν κατασκευὴν σαλπίγγων, πρῶτον, ἵνα προσκαλῆται δι' αὐτῶν καὶ συνάγηται ἡ Συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· δεύτερον δὲ, ἵνα ἐμψυχῶνται οἱ στρατιῶται ἐν καιρῷ πολέμου, καὶ ἀναμιμνήσκωνται τὴν παρὰ Θεοῦ πεμπομένην αὐτοῖς σωτηρίαν· καὶ τρίτον, πρὸς εὐφροσύνην αὐτῶν ἐν ταῖς ἑορταῖς

---

[1] Περὶ τῶν τῆς Ἑλληνικῆς Μουσικῆς φθόγγων, τῶν διαστημάτων, τῶν γενῶν, τῶν συστημάτων, τῶν τόνων κτλ. οὐδεὶς ἐνταῦθα λόγος ἐγένετο, ὡς ἀναγομένων εἰς τὸ ἐπιστημονικὸν τῆς Μουσικῆς μέρος, ἰδίαν ἀπαιτοῦν Πραγματείαν, περὶ ὧν ἴδε τὸ ὑπὸ Δ. Πανταζῆ μεταφρασθὲν ἐκ τοῦ Ἀγγλικοῦ πρωτοτύπου Λεξικὸν τῆς Ἑλληνικῆς Ἀρχαιολογίας ἐν σελίδι 1161 καὶ ἑξῆς. [2] Βασιλ. Α'. ις'. 23. [3] Γεν. λά. 26. 27.

καὶ νουμηνίαις αὐτῶν. « Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· ποίησον σεαυτῷ δύο σάλπιγγας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτάς· καὶ ἔσονταί σοι ἀναχαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολάς· καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχθήσεται πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου » (1). « Ἐὰν δὲ ἐξέλθητε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπεναντίους τοὺς ἀνθεστηκότας ὑμῖν, καὶ σημανεῖτε ταῖς σάλπιγξι, καὶ ἀναμνησθήσεσθε ἔναντι Κυρίου, καὶ διασωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν· καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν, καὶ ἐν ταῖς ἑορταῖς ὑμῶν, καὶ ἐν ταῖς νουμηνίαις ὑμῶν, σαλπιεῖτε ταῖς σάλπιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασι καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν » (2). Τὴν χρῆσιν τῶν σαλπίγγων μόνοις τοῖς ἱερεῦσιν ἐπιτρέπει ὁ Μωϋσῆς, ὡς τοῦτο βλέπομεν ἐκπληροῦντας ἐν τῷ πρὸς τοὺς Μαδιανίτας πολέμῳ (3), καὶ ἐν τῇ πολιορκίᾳ τῆς Ἱεριχοῦς (4). Ἀκολούθως δὲ τὴν τῶν μουσικῶν ὀργάνων χρῆσιν κατὰ τὰς θρησκευτικὰς τελετὰς εἰσήγαγε καὶ ὁ Δαβὶδ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐφεξῆς δὲ καὶ ὁ Σολομὼν, καὶ οἱ μετ' αὐτὸν, ἐν τῷ ναῷ τοῦ Κυρίου. « Πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν (Αἰμὰν) ὑμνῳδοῦντες ἐν οἴκῳ Θεοῦ ἐν κυμβάλοις, καὶ ἐν νάβλαις, καὶ ἐν κινύραις εἰς τὴν δουλείαν οἴκου τοῦ Θεοῦ, ἐχόμενα τοῦ Βασιλέως » (5).

§. 18. Οὐ μόνον οἱ ἄνδρες, ἀλλὰ καὶ αὐταὶ αἱ γυναῖκες εἰδήμονες ἦσαν τῆς Μουσικῆς. Τὴν ᾠδὴν, ἣν ὁ Μωϋσῆς ποιήσας ἐν ἑξαμέτροις στίχοις, κατὰ τὸν Ἰώσηπον (6), μετὰ τὴν διὰ τῆς Ἐρυθρᾶς θαλάσσης διάβασιν τῶν Ἑβραίων, ἔψαλλε μετὰ τῶν ἀνδρῶν πρὸς εὐγνωμοσύνην εἰς τὸν Θεὸν διὰ τὴν θαυμαστὴν σωτηρίαν αὐτῶν, ταύτην, ἐξαρχούσης τῆς ἀδελφῆς αὐτοῦ Μαριὰμ, ἔψαλλον καὶ πᾶσαι αἱ γυναῖκες μετὰ χορῶν καὶ τυμπάνων. « Τότε ᾖσε Μωϋσῆς καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ Θεῷ, καὶ εἶπαν λέγοντες· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται » (7). « Λαβοῦσα δὲ Μαριὰμ ἡ προφῆτις ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξήλθοσαν πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμπάνων καὶ χορῶν· ἐξῆρχε δὲ αὐτῶν Μαριὰμ, λέ-

---

[1] Ἀριθμ. Γ'. 1—4. [2] Αὐτόθ. 9, 10. [3] Αὐτόθ. λά. 6, 7. [4] Ἰησ. Ναυῆ ς'. 1—9. [5] Παραλειπ. Α'. κέ. 6. [6] « Καὶ Μωϋσῆς ᾠδὴν εἰς τὸν Θεὸν, ἐγκώμιόν τε καὶ τῆς εὐμενείας εὐχαριστίαν περιέχουσαν, ἐν ἑξαμέτρῳ τόνῳ συνέθηκεν. » Ἰουδ. Ἀρχαιολ. Βιβλ. β'. κεφ. 16. §. 4. [7] Ἐξοδ. ΙΕ'. 1.

κή.

γουσα· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν » (1). Καὶ τὴν δ'. δὲ ᾠδὴν γυνὴ συνέταξεν, Ἄννα ἡ προφῆτις, ἡ τοῦ προφήτου Σαμουὴλ μήτηρ, πρὸς εὐχαρίστησιν τῆς εὐεργεσίας, ἣν παρὰ Θεοῦ ἔλαβεν.

§. 19. Ἐπὶ τοῦ Βασιλέως καὶ Προφήτου Δαβὶδ καὶ τῶν διαδόχων αὐτοῦ, μεγίστην ἔλαβε πρόοδον ἡ Ἑβραϊκὴ Μουσική. Μόνη ἐκ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραὴλ ἡ τοῦ Λευὶ φυλὴ ἦν προσδιωρισμένη εἰς τὴν τοῦ Κυρίου λατρείαν· ἡ δὲ ἀπαρτιζομένη ἐκ πάντων τῶν οἴκων φυλὴ τοῦ Ἀαρὼν, ὡς μεγάλου Ἀρχιερέως καταστάντος ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, ἐκληρώθη τὴν ἱερωσύνην, ἐκπληροῦσα τὰς ἱερατικὰς λειτουργίας· αἱ δὲ λοιπαὶ φυλαὶ ἄλλας ὑποδεεστέρας ἐξετέλουν ἐργασίας, οἷον, ὑπηρέτουν τοῖς ἱερεῦσιν ἐν καιρῷ τῶν θυσιῶν, σφάττοντες τὰ θύματα καὶ πλύνοντες αὐτὰ καὶ ξύλα ἐπιτιθέντες εἰς τὸ πῦρ τοῦ θυσιαστηρίου· ἐφύλαττον γρηγοροῦντες τὴν σκηνὴν τοῦ μαρτυρίου, φροντίζοντες περὶ τῆς καθαριότητος αὐτῆς τε καὶ τῶν ἱερῶν σκευῶν, ἥπτον τὴν χρυσῆν λυχνίαν, παρεσκεύαζον τοὺς ἄρτους τῆς προθέσεως, καὶ περὶ ἄλλα τοιαῦτα ἠσχολοῦντο ἔργα. Ὁ γοῦν βασιλεὺς Δαβὶδ, ἅτε σφοδρὸς τῆς μουσικῆς ἐραστὴς καὶ κρούων ἐντελῶς τὸ ψαλτήριον, φρονῶν αὐτὴν τὰ μέγιστα συντελοῦσαν πρός τε τὴν μεγαλοπρέπειαν τῆς τοῦ Θεοῦ λατρείας καὶ πρὸς τὴν τοῦ λαοῦ ἐξημέρωσιν, ὁρῶν δὲ καὶ τὸν ἀριθμὸν τῶν Λευϊτῶν ὁσημέραι πληθυνόμενον, καὶ θέλων αὐτοῖς δοῦναι οἰκείαν ἐνασχόλησιν καὶ ἀνάλογον τῷ γενικῷ αὐτῶν προορισμῷ, εἰσήγαγε τὴν χρῆσιν τῆς Μουσικῆς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Ποιήσας δὲ διάφορα εἴδη ᾀσμάτων καὶ ὕμνων (2) ἐν στίχοις τριμέτροις καὶ πενταμέτροις (3), καὶ κατασκευασάμενος μουσικὰ ὄργανα, διώρισεν ἐκ τῶν Λευϊτῶν τρισχιλίους ψάλτας, διῃρημένους εἰς εἴκοσι καὶ τέσσαρας τάξεις κατὰ χοροὺς, παραδοὺς αὐτοῖς ταῦτα, ἵνα ψάλλωσιν ὑπὸ τὸν ἦχον τῶν ὀργάνων ἐνώπιον τοῦ Κυρίου ἐν τῇ σκηνῇ κατὰ τὰς ἱεροτελεστίας. « Καὶ ἔταξε κατὰ πρόσωπον τῆς Κιβωτοῦ διαθήκης Κυρίου ἐκ τῶν Λευϊτῶν λειτουργοῦντας ἀναφωνοῦντας, καὶ

---

(1) Αὐτόθ. 20. 21. (2) Ὁ ἱστορικὸς Φίλων ῥήσεις συχνὰς ἐκ τῶν τοῦ Δαβὶδ ψαλμῶν ἀναφέρων, ὕμνους αὐτοὺς ὀνομάζει ἐξαιρέτως καὶ ὑμνῳδίας καὶ ᾠδάς· καὶ τὸν Δαβὶδ Ὑμνογράφον (Τόμ. Β'. σελ. 605.) (3) « Ἀπηλλαγμένος δ' ἤδη πολέμων ὁ Δαυὶδης καὶ κινδύνων, καὶ βαθείας ἀπολαύων εἰρήνης, ᾠδὰς εἰς τὸν Θεὸν καὶ ὕμνους συνετάξατο, μέτρου ποικίλου· τοὺς μὲν γὰρ τριμέτρους, τοὺς δὲ πεντα[illegible]μέτρους ἐποίησεν. » (Ἰωσηπ. Ἀρχ. βιβλ. Ζ'. κεφ. 12. §. 3.)

ἐξομολογεῖσθαι καὶ αἰνεῖν Κύριον τὸν Θεὸν Ἰσραήλ » (1). « Τέσσαρες χιλιάδες αἰνοῦντες τῷ Κυρίῳ ἐν ὀργάνοις, οἷς ἐποίησε τοῦ αἰνεῖν τῷ Κυρίῳ » (2). Ὡς δὲ μετὰ τὴν λύτρωσιν τῶν Ἑβραίων ἀπὸ τῆς δουλείας τῶν Αἰγυπτίων, οἱ ἄνδρες ὑπ' ἀρχηγῷ τῷ Μωϋσῇ, καὶ αἱ γυναῖκες ἐξαρχούσης τῆς Μαριὰμ, ἔψαλλον καὶ οἱ δύο χοροὶ τὴν ἐπινίκιον ἐκείνην ᾠδὴν, οὕτω καὶ ὁ Δαβὶδ, κατὰ μίμησιν, εἰς ἑκάστην τῶν εἰκοσιτεσσάρων τούτων τάξεων, διώρισε καὶ ἕνα ἀρχηγὸν καὶ τρεῖς μουσικοδιδασκάλους τὸν Ἀσὰφ, Αἰμὰν καὶ Ἰδιθοὺν, διευθύνοντας τὴν Μουσικὴν ἐπί τε τοῦ Δαβὶδ ἐν τῇ σκηνῇ καὶ ἐπὶ τοῦ υἱοῦ αὐτοῦ Σολομῶντος ἐν τῷ Ναῷ. Ἔψαλλον δὲ οὗτοι καθ' ἑβδομάδα ἐναλλὰξ, ἐν δὲ ταῖς μεγάλαις ἑορταῖς πᾶσαι ὁμοῦ αἱ τάξεις. « Καὶ διεῖλεν αὐτοὺς ὁ Δαβὶδ ἐφημερίας τοῖς υἱοῖς Λευὶ, τῷ Γεδσὼν, Καὰθ καὶ Μεραρί » (3). Ἡ διάταξις αὕτη ἐπὶ Σολομῶντος καὶ ἐφεξῆς ἐτηρεῖτο ἐν τῷ Ναῷ μετὰ μείζονος ἔτι τάξεως καὶ μεγαλοπρεπείας· ὑπὸ γὰρ τὴν ἀρχηγίαν τῶν τεσσάρων υἱῶν τοῦ Ἀσὰφ, δεκατεσσάρων τοῦ Αἰμὰν καὶ ἓξ τοῦ Ἰδιθοὺν, ὅλων εἰκοσιτεσσάρων, ὑπήγοντο ἄλλοι εἴκοσι καὶ τέσσαρες πολυάριθμοι χοροὶ, διακρινόμενοι ἀπ' ἀλλήλων ἔκ τε τῶν μουσικῶν ὀργάνων (4), καὶ ἐκ τοῦ τόπου, ἔνθα ἐν τῷ Ναῷ ἵσταντο, ψάλλοντες ἀμοιβαδὸν, οἱ μὲν ἐκ τοῦ οἴκου Καὰθ ἐν τῷ μέσῳ, οἱ δ' ἐκ τοῦ Γεδσὼν δεξιόθεν, καὶ οἱ τοῦ Μεραρὶ ἐξ ἀριστερῶν. « Καὶ οὗτοι οἱ ἑστηκότες, καὶ υἱοὶ αὐτῶν ἐκ τῶν υἱῶν τοῦ Καὰθ, Αἰμὰν ὁ ψαλτῳδὸς, υἱὸς Ἰωὴλ, υἱοῦ Σαμουήλ . . . Καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀσὰφ, ὁ ἑστηκὼς ἐν δεξιᾷ αὐτοῦ . . . Καὶ υἱοὶ Μεραρὶ οἱ ἀδελφοὶ αὐτῶν ἐξ ἀριστερῶν » (5). Εἰ ἐν τῷ Ναῷ ὑπῆρχον καὶ γυναῖκες ψάλτριαι, τοῦτο ἀμφισβητεῖται· ἐπὶ θρησκευτικῶν ὅμως πομπῶν καὶ παρατάξεων, ἔξω τοῦ Ναοῦ τελουμένων, ὁρῶμεν ἐν τῇ θείᾳ Γραφῇ καὶ γυναῖκας μετὰ τῶν ἀνδρῶν ᾀδούσας, ὡς τὴν τοῦ Μωϋσέως Μαριὰμ καὶ τὰς ἄλλας γυναῖκας μετὰ τὴν διάβασιν· καὶ τὸν Δαβὶδ ἐπιστρέφοντα μετὰ τὴν νίκην

---

(1) Παραλειπ. Α'. ις'. 4. (2) Αὐτόθ. κγ'. 5. (3) Αὐτόθ.—6 (4) Οἱ μὲν ὑπὸ τὸν Ἀσὰφ ἔψαλλον, ὡς λέγεται, χρώμενοι τῇ νάβλᾳ ἢ τῷ ψαλτηρίῳ, οἱ δὲ ὑπὸ τὸν Αἰμὰν, τοῖς κυμβάλοις, οἱ δὲ ὑπὸ τὸν Ἰδιθοὺν τῇ κινύρᾳ. Καὶ ἡ μὲν κινύρα συνώνυμός ἐστι τῆς Ἑλληνικῆς κιθάρας· τὸ δὲ ψαλτήριον, φαίνεται μὲν ὁπωσοῦν διάφορον τῆς κιθάρας, διὸ καὶ διακρίνονται πολλάκις (ὡς ἐν Γεν. δ'. 21: ψαλμ. λδ'. ιά, ρμγ'. Ἰώσηπ. Ἀρχ. Α'. β'. 2), ἐλαμβάνονται ὅμως καὶ συνώνυμα, ὡς ἀμφότερα δεκάχορδα ὄργανα, μεθ' ὧν καὶ ἡ δωδεκάχορδος νάβλα. (5) Παραλειπ. Α'. ς'. 34. 39. 44.

κατὰ τοῦ Γολιὰθ εἰς τὴν πόλιν, ὑπεδέχθησαν αἱ γυναῖκες μετὰ χορῶν καὶ τυμπάνων ψάλλουσαι ἐν ἐγκωμίοις, « Ἐπάταξε Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ Δαβὶδ ἐν μυριάσιν αὐτοῦ » (1), ὅπερ ἐξῆψεν ἔτι μᾶλλον τὸν κατ' αὐτοῦ φθόνον τοῦ Σαούλ. Ὡσαύτως καὶ ἐπὶ τῆς μετακομίσεως τῆς Κιβωτοῦ εἰς τὸν ἐν Ἱερουσαλὴμ οἰκοδομηθέντα ὑπὸ τοῦ Σολομῶντος Ναὸν, καὶ ἐν ἄλλαις περιστάσεσιν.

§. 20. Ἐπειδὴ πάντες οὗτοι οἱ ἐκ μόνης τῆς φυλῆς Λευὶ ὡρισμένοι ψάλται εἰς τὴν τοῦ Κυρίου λατρείαν, ἐνησχολοῦντο καθ' ὅλην τὴν ζωὴν αὐτῶν περὶ τὸ μανθάνειν καὶ ἀσκεῖσθαι τὴν Μουσικὴν τέχνην, συντηρούμενοι πάντως δι' ὡρισμένων προσόδων, ἔχοντες μάλιστα ἕκαστος αὐτῶν καὶ τὴν φιλοτιμίαν, ἵνα προβιβασθῇ εἰς τὸ τοῦ Ἀρχιμουσικοῦ ἀξίωμα, ὡς οὐ σμικρὰν τιμὴν καὶ δόξαν φέρον, καὶ ἐπειδὴ προσέτι προὐθυμοῦντο, ὅπως ἐπιδείξωσι τὴν ἑαυτῶν τέχνην πρὸς ἅπαντας τοὺς ὁμοεθνεῖς συνερχομένους τρὶς τοῦ ἐνιαυτοῦ εἰς τὸν περίβλεπτον ἐκεῖνον Ναὸν τῆς Ἱερουσαλὴμ, ἕπεται ὅτι οὐ μόνον εὐδοκίμουν ἐν τῇ Μουσικῇ, ἀλλὰ καὶ εἰς μεγάλην τινὰ τελειότητα προήγαγον αὐτὴν, ὅπερ δείκνυται ἐκ τῆς περὶ αὐτῶν φήμης παρὰ τοῖς ἄλλοις τότε ἔθνεσιν, ὡς ἐξόχων καὶ ἀρίστων μουσικῶν. Ὅτε, κατὰ τὸ 588 π. Χ. ἔτος, ὁ ἐν τῇ ὑπηρεσίᾳ τοῦ Ναβουχοδονόσορος Ναβουζαρδὰν εἰσελθὼν εἰς τὴν Ἱερουσαλὴμ, τὸν μὲν ναὸν τοῦ Σολομῶντος κατέκαυσε καὶ τὸν οἶκον τοῦ ἐσχάτου βασιλέως Σεδεκίου, (ὃν πρὸ ἑνὸς μηνὸς ὁ Ναβουχοδονόσορ αἰχμάλωτον λαβὼν, ἔσφαξεν ἐνώπιον αὐτοῦ τοὺς υἱοὺς αὐτοῦ, καὶ τυφλώσας ἔρριψε διὰ βίου εἰς τὸ ἐν Βαβυλῶνι δεσμωτήριον·) τὰ δὲ τείχη τῆς πόλεως καὶ αὐτὴν ὅλην κατηδάφισε, τὸν δὲ Ἀρχιερέα καὶ πολλοὺς τῶν ἐν ἀξιώμασι καὶ ἑξήκοντα προκρίτους ἀπαχθέντας εἰς Βαβυλῶνα ὁ Ναβουχοδονόσορ ἀπέκτεινεν, οἱ ἐν αἰχμαλωσίᾳ τότε Ἰουδαῖοι μεμνημένοι ἀείποτε τῆς Ἱερουσαλὴμ, ἐπένθουν πικρῶς διὰ τὰς συμφορὰς αὐτῶν· καί τοι δὲ πολλάκις οἱ αἰχμαλωτεύσαντες αὐτοὺς Βαβυλώνιοι ἐδέοντο αὐτῶν, ὅπως ψάλλωσί τινας ἐκ τῶν ᾠδῶν Σιὼν, οἱ Λευῖται ὅμως ἠρνοῦντο λέγοντες, ὅτι ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ τῆς Ἱερουσαλὴμ ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν, ἐνταῦθα δὲ πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Ἄσματα δέ τινα ἐπὶ παραμυθίᾳ τῶν τεθλιμμένων αὐτῶν ἀδελφῶν ποιοῦντες διὰ τὴν στέρη-

(1) Βασ. Α'. ιζ'.

σιν τῆς πατρίδος, ἔψαλλον ἰδίως τὰ παθήματα μόνον αὐτῆς καὶ τὴν τοῦ Ναοῦ καταστροφὴν, ἐπικαλούμενοι τὸ παρὰ τοῦ Ὑψίστου ἔλεος. Ἀνάγνωθι τὸν συγκινητικώτατον ρλς'. ψαλμὸν τοῦ θεσπεσίου Δαβίδ.

§. 21. Ὅτι δὲ καὶ πρὸ τοῦ Κανόνος τοῦ παρ' Ἔσδρα θεσπισθέντος τῶν κβ'. θεοπνεύστων Γραφῶν, καὶ πρὸ τῆς μετοικεσίας ἀνεγίνωσκον οἱ Ἑβραῖοι, ἢ ἔψαλλόν τινας περικοπὰς ἐκ τῶν Προφητικῶν βίβλων, τοῦτο καὶ ἐκ τῶν προειρημένων δείκνυται, διότι βλέπομεν σαφῶς ἔν τε ταῖς Βασιλείαις καὶ τοῖς Παραλειπομένοις ᾀδομένους τινὰς τῶν ψαλμῶν τοῦ Δαβὶδ, καὶ τοὺς ὑπ' αὐτοῦ διδαχθέντας ἱεροψάλτας « ὑμνῳδοῦντας ἐν οἴκῳ Θεοῦ, καὶ τὸν Κύριον ὑμνοῦντας ἐν λόγοις Δαβὶδ καὶ Ἀσὰφ τοῦ Προφήτου » (1). Καὶ Ἰώσηπος δὲ ἱστορεῖ, τοὺς ψαλμοὺς τοῦ Δαβὶδ κατὰ πᾶν Σάββατον καὶ τὰς ἄλλας ἑορτὰς ψαλλομένους, ἔτι ζῶντος τοῦ Προφητάνακτος, λέγων· « Τοὺς εἰς Θεὸν ὕμνους τοῦ Δαυΐδου κατά τε τὴν τῶν Σαββάτων ἡμέραν καὶ τὰς ἄλλας ἑορτὰς ᾀδομένους ὑπὸ τῶν Λευϊτῶν ἔκπαλαι » (2). Ἀλλὰ καὶ αὐτὸς ὁ τὴν αἰχμαλωσίαν αὐτῶν διαγράφων ρλς'. ψαλμὸς μαρτυρεῖ, ὅτι καὶ πρὸ τῆς μετοικεσίας, ὡς εἴδομεν, ἔψαλλον οἱ Ἰουδαῖοι Λόγους Ὠδῶν, δηλονότι προφητικάς τινας ᾠδὰς εἰς Θεὸν, « Πῶς ᾄσωμεν (λέγει) τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; ». Ὅτι δὲ καὶ ἐκ τῆς Πεντατεύχου ᾠδάς τινας ἔψαλλον, φανερόν· ᾖδον δὲ πιθανῶς καὶ τὴν Δεβόῤῥας ᾠδὴν (Κριτ. ε.), ἴσως καὶ τὴν τῆς χάριτος Ἄννης θεσπεσίαν ᾠδὴν, « τὸ ᾀδόμενον ᾆσμα τῆς χάριτος » (τὸ γὰρ Ἄννα σημαίνει χάριν), ὡς Φίλων εἶπε (3)· καὶ τὴν Ἰωνᾶ (Ἰων. β'.), καὶ τὴν Ἀββακοὺμ (Ἀββ. γ'.), καὶ εἴτινας ἄλλας ἐκ τῶν προφητῶν· αὐτὸς γὰρ ὁ Φίλων, ῥῆσιν τοῦ προφήτου Ἡσαΐου ἀναφέρων, εἰς πάντας τοὺς Προφήτας ἀνάγει τὸν λόγον καθολικώτερον, « καθάπερ (φησὶν) ἐν ταῖς προφητικαῖς ᾄδεται ῥήσεσι » (4). Ἴσως δὲ καί τινα τοῦ Σολομῶντος ἔψαλλον (5). Ὁ δ' αὐτὸς οὗτος Φίλων, γράφων περὶ τῶν Ἐσσαίων λέγει,

---

(1) Β'. Βασιλ. κβ'. Α'. Παραλειπ. ις'. 8. κέ. 1—16. (2) Ἀρχαιολ. ζ' ιβ' §. 3. (3) Τόμ. ά. σελ. 600. πρβ. σελ. 271. (4) Αὐτόθ. σελ. 604. (5) Τῶν τοῦ Δαβὶδ ψαλμῶν ὡς ἀνέκαθεν ψαλλομένων μνημονεύουσι καὶ αὐτοὶ οἱ Ῥαββῖνοι (Bava Bathra cap. 1.) καὶ ἄλλους δέ τινας ὕμνους μελῳδουμένους ἀριθμοῦσι, καὶ μάλιστα τοὺς ἐννέα, τέσσαρας μὲν ἐκ τῆς Πεντατεύχου (Ἐξόδ. κέ. Ἀριθ. κά. Δευτερ. λβ'. καὶ ὃν λέγουσιν ὅτι δῆθεν ἔψαλλον ἐν Αἰγύπτῳ, ὡς ὑπεσήμηνεν Ἡσ. λ'. 29), τοὺς δὲ λοιποὺς ἐκ τῶν ἄλλων βιβλίων τῆς Γραφῆς.

ὅτι διάφορα παρ' αὐτοῖς σώζονται ποιήματα τῶν ἀρχαίων ποιητῶν. Καὶ τὰ μὲν ἔπη, ἐκ πολλῶν μέτρων καὶ μελῶν συγκείμενα, ᾄδουσι πορευόμενοι εἰς τὸν Ναόν· τοὺς δὲ ὕμνους, ἐνώπιον τοῦ θυσιαστηρίου, ὅτε προσφέρουσι θυσίας καὶ σπονδὰς τῷ Κυρίῳ· ἄλλα δὲ ἔπη ψάλλουσιν ἐν καιρῷ ἡσυχίας καὶ ἀναπαύσεως, καὶ ἄλλα ἦν ὡρισμένα τοῖς χοροῖς. « Καὶ ἔπειτα ὁ ἀναστὰς ὕμνον ᾄδει πεποιημένον εἰς τὸν Θεὸν, ἢ καινὸν αὐτὸς πεποιηκὼς, ἢ ἀρχαῖόν τινα τῶν πάλαι προφητῶν » (1). Καὶ « εἶτα ᾄδουσι πεποιημένους εἰς τὸν Θεὸν ὕμνους, πολλοῖς μέτροις καὶ μέλεσι, τῇ μὲν συνηχοῦντες, τῇ δὲ καὶ ἀντιφώνοις ἁρμονίαις ἐπιχειρονομοῦντες, καὶ ἐπορχούμενοι, καὶ ἐπιθειάζοντες τοτὲ μὲν τὰ προσόδια, τοτὲ δὲ τὰ στάσιμα, στροφάς τε τὰς ἐν χρείᾳ καὶ ἀντιστρόφους ποιούμενοι » (2). Ὥστε ἐκ τοῦ ἀρχαίου τούτου ἱστορικοῦ Ἰουδαίου καὶ τοῦτο μανθάνομεν, ὅτι ἡ ψαλμῳδία τῶν Ἑβραίων ἄλλοτε ἦν σύμμιγμά τι πολλῶν φωνῶν πρὸς ἕνα ἦχον, ἄλλοτε δὲ ἁρμονικὴ μετὰ ποικίλων φωνῶν καὶ ἤχων. Τίσι δὲ καὶ πόσοις μουσικοῖς σημείοις ἐχρῶντο, ἄδηλον· διότι τὰ ἐν τῷ ἑβραϊκῷ τῆς Π. Δ. κειμένῳ ὁρώμενα ἤδη σημεῖα τῶν τόνων, καί τοι ὡς μουσικὰ ὑπολαμβάνουσί τινες, ἀλλὰ ταῦτα φαίνονται εἰσηγμένα πολλῷ ὕστερον παρὰ τῶν ἐπιγενεστέρων Ἰουδαίων. Ἓν δὲ μόνον σωζόμενον, σελ'ὰ'μὲν τῇ Ἑβραΐδι γλώττῃ καλούμενον, ὑπὸ δὲ τῶν Ο'. Διάψαλμα ἑρμηνευόμενον, ἀμφισβητεῖται, εἴπερ ἦν ἐν χρήσει ὡς σημεῖον μουσικῆς.

§. 22. Ἐπανελθόντες οἱ Ἰσραηλῖται ἐκ Βαβυλῶνος εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, ἐπὶ Κύρου τοῦ πρεσβυτέρου, βασιλέως τῶν Περσῶν, ὑπὸ τὴν ὁδηγίαν τοῦ ἐκ τῆς γενεᾶς τοῦ Δαβὶδ καταγομένου Ζοροβάβελ καὶ τοῦ Ἀρχιερέως Ἰησοῦ, καὶ ἀνοικοδομήσαντες τὸν Ναὸν, εἰσήγαγον αὖθις τὴν χρῆσιν τῆς τοιαύτης Μουσικῆς ἐν αὐτῷ μετὰ τῆς αὐτῆς τάξεως καὶ μεγαλοπρεπείας, διαρκέσασαν μέχρι τῆς ἐπὶ Τίτου τελείας καταστροφῆς τῆς τε Ἱερουσαλὴμ καὶ τοῦ Ναοῦ, ὁπότε καὶ διεσπάρησαν πανταχοῦ. Καὶ ταῦτα περὶ τῆς Ἑβραϊκῆς μουσικῆς.

§. 23. Ἴδωμεν δὲ ἤδη τὴν Μουσικὴν τῶν ἐνδόξων προγόνων ἡμῶν διασωθεῖσαν, καθώσπερ καὶ τὴν γλῶσσαν αὐτῶν, ἐν τοῖς κόλποις τῆς Ἐκκλησίας. Ἑλληνικὴ γλῶσσα καὶ Ἑλληνικὴ μουσικὴ, δύο τινὰ εἰσὶ συμφυῆ, ὡς προείρηται, καὶ συνδεδεμένα πρὸς

(1) Περὶ βίου Θεωρητ. §. 10. (2) Αὐτόθ. §. 11.

ἄλληλα. Εἰ δέ γε τὸ θεῖον τοῦτο δῶρον, τὸ ἐθνικὸν κληροδότημα, τὴν Ἑλληνικὴν γλῶσσαν, ἡ τοῦ Χριστοῦ ὀρθόδοξος Ἐκκλησία ἀπὸ τῆς ἀρχῆς αὐτοῦ τοῦ Α'. μ. Χ. αἰῶνος διετήρησε, διασώσασα καὶ ἐν αὐτοῖς τοῖς τῶν θείων Ἀποστόλων Συγγράμμασι, καὶ ἐν τοῖς τῶν διαδεξαμένων αὐτοὺς Ἀποστολικῶν ἀνδρῶν, καὶ ἐν τοῖς τῶν μετέπειτα θεοφόρων τῆς Ἐκκλησίας Πατέρων, καὶ ἐφεξῆς ἄχρις ἡμῶν, φυσικῷ δήπου καὶ δικαίῳ λόγῳ ἔδει, ὅπως καὶ τὴν ἀδελφὴν τῆς γλώσσης, τὴν Μουσικὴν, ἐγκολπώσηται καὶ περιθάλψῃ ἐν ταῖς ἀγκάλαις αὐτῆς, ὡς μηδαμῶς μηδέποτε δυναμένας ἀμφοτέρας ἀπ' ἀλλήλων διΐστασθαι.

§. 24. Ὥσπερ ἡ Ἑλληνικὴ γλῶσσα, οὕτω καὶ πᾶσαι αἱ τέχναι καὶ ἐπιστῆμαι ἀπὸ τῆς Ἑλλάδος μετέβησαν καὶ εἰς τὴν Ἀσίαν καὶ τὴν Ἀφρικὴν καὶ ἀλλαχοῦ, καθότι ἡ Ἑλλὰς διὰ τῶν ἐπιγείων Μουσῶν καὶ Χαρίτων, τῶν πολλῶν αὐτῆς Συγγραφέων, μετεδίδου εἰς πᾶσαν τὴν οἰκουμένην τὰ διδάγματα τῆς ἀνθρωπίνης αὐτῆς σοφίας, ἥτις Θεόθεν βεβαίως ἐδόθη αὐτῇ. Ἡ εἰς Ἀσίαν τοῦ Μ. Ἀλεξάνδρου ἀνάβασις, καὶ ἡ αὐτόθι τῶν ἀμέσως αὐτοῦ διαδόχων ἐγκατάστασις, μεγάλη καὶ σοφωτάτη ἐγένετο Ἀκαδημία, ἐξ ἧς ἥ τε τῶν Ἑλλήνων γλῶσσα καὶ πᾶσαι αἱ ἐπιστῆμαι καὶ τέχναι διεδόθησαν πανταχοῦ τῆς Ἀσίας καὶ Ἀφρικῆς, καὶ κατέστη τοῖς πλείστοις τῶν μεγάλων τούτων χωρῶν λαοῖς « χεῖλος ἓν καὶ μία φωνὴ πᾶσιν » ἡ Ἑλληνική. Ὥστε γέγονε δήπου ὅ,τι φιλογενέστερον ἔγραψε μὲν ὁ Πλάτων, ἐπανέλαβε δὲ καὶ Φίλων αὐτὸς, ὅτι « Μόνη ἡ Ἑλλὰς ἀψευδῶς . . . ἀποτίκτει φυτὸν οὐράνιον, καὶ βλάστημα θεῖον, ἠκριβωμένον λογισμὸν, οἰκειούμενον ἐπιστήμῃ. »

§. 25. Ἐκ τῶν ἱερῶν τῆς Νέας Γραφῆς βίβλων μανθάνομεν, ὅτι ἡ χρῆσις τῆς Μουσικῆς, ἡ ψαλμῳδία, ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων ἦν εἰσηγμένη εἰς τὴν χριστιανικὴν λατρείαν, ὡς βλέπομεν τὸν μέγαν διδάσκαλον τῶν ἐθνῶν Παῦλον προτρέποντα τοὺς πιστοὺς τῶν πρώτων Ἐκκλησιῶν, ἵνα « πληρῶνται ἐν Πνεύματι, ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες τῷ Θεῷ. » Καὶ, « ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. » (1) Οὕτω καὶ ἐν ταῖς τῶν Ἀποστόλων διαταγαῖς ῥητῶς διατέτακται αἶνον πρὸς Θεὸν ἀναπέμπειν. « Μάλιστα δὲ ἐν τῇ ἡμέρᾳ τοῦ Σαβ-

(1) Ἐφεσ. ε. 18. 19. Κολασ. γ'. 16.

βάτου, καὶ ἐν τῇ τοῦ Κυρίου Ἀναστασίμῳ, τῇ Κυριακῇ, σπουδαιοτέρως ἀπαντᾶτε, αἶνον ἀναπέμποντες τῷ Θεῷ » (1). Οἱ δὲ χριστιανοὶ ἐχρῶντο ἢ ψαλμοῖς τῆς Π. Διαθήκης, ἢ ὕμνοις ἰδίοις ἐπὶ τούτῳ συντεταγμένοις ἐπ' εὐχαριστίᾳ πρὸς Θεὸν τὸν Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν· τὸ γὰρ τοῦ Ἀποστόλου τοῦτο « ἐν ψαλμοῖς καὶ ὕμνοις κτλ., » φαίνεται, πλὴν τῶν τοῦ Δαβὶδ, καὶ ἰδίους ὕμνους σημαῖνον, συντεθειμένους ὑπὸ τῶν πρώτων χριστιανῶν. Καὶ ἀλλαχοῦ ῥητῶς λέγει, « Ἕκαστος ὑμῶν ψαλμὸν ἔχει κτλ. » (2). Καὶ ὁ Πλίνιος δὲ (τῷ 98 ἔτει) ἱστορεῖ, ὕμνον εἰς Χριστὸν, ὡς εἰς Θεὸν, ψαλλόμενον ἐξ ὑπαμοιβῆς (3). Καὶ ὥσπερ ἐν τῇ Π. Διαθήκῃ οἱ εὐσεβεῖς ἐκεῖνοι ἄνδρες, δι' ἃς ἔλαβον παρὰ Θεοῦ εὐεργεσίας, συνέταξαν τὰς εὐχαριστηρίους αὐτῶν Ὠδὰς, ὡς ὁ μέγας Μωϋσῆς, ἡ Ἄννα ἡ προφῆτις, ὁ Ἰωνᾶς καὶ οἱ τρεῖς Παῖδες, οἱ μὲν διασωθέντες ἐκ τῆς καμίνου, ὁ δὲ ἐκ τοῦ κήτους, μάλιστα δὲ πάντων ὁ θαυμάσιος Δαβὶδ, ὃς τοὺς πλείστους τῶν αὐτοῦ ψαλμῶν μετὰ μέλους συνθεὶς προσφέρει τῷ Θεῷ πρὸς εὐχαριστίαν, ὧν παρ' αὐτοῦ ἐν διαφόροις καιροῖς ἀπήλαυσε πολλῶν καὶ μεγάλων εὐεργετημάτων, οὕτω καὶ ἐν τῇ Καινῇ Διαθήκῃ, ὅτε ἡ τοῦ Χριστοῦ Ἐκκλησία διέταξε τὰς πανηγύρεις τῶν μεγάλων Δεσποτικῶν ἑορτῶν πρὸς ἀνάμνησιν τῶν μεγίστων δωρεῶν καὶ χαρίτων, ἃς ἐπεδαψίλευσεν ἡμῖν ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ διὰ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας, ὡς λέγει ὁ Κύρου Θεοδώρητος, « Φροντίσιν ἡμᾶς καὶ λύπαις μετὰ τὴν ἁμαρτίαν συζεύξας ὁ δημιουργήσας Θεὸς, παρέσχεν ἡμῖν παραμυθίας ψυχῆς ἀφορμὰς, τὰς θείας ἐν μέσῳ τεθεικὼς ἑορτάς· αἱ γὰρ τούτων ὑποθέσεις, καὶ τῶν θεοσδότων ἡμᾶς ἀναμιμνήσκουσι δωρεῶν, καὶ τὴν παντελῆ τῶν ἀνιαρῶν προμηνύουσι λύσιν » (4)· τότε πολλοὶ τῶν ἱερῶν τῆς Ἐκκλησίαν Πατέρων καὶ Διδασκάλων, κατὰ ζῆλον καὶ μίμησιν τῶν ἀρχαίως Ὠδῶν καὶ τῶν ψαλμῶν τοῦ Προφητάνακτος, οὐ μόνον πανηγυρικοὺς λόγους, ἀλλὰ καὶ ᾄσματα ἔμμετρα καὶ ᾠδὰς καὶ μέλη συνέταξαν, ὑμνολογοῦντα τὸν Θεὸν μετ' εὐγνωμοσύνης καὶ εὐχαριστίας, καὶ διὰ τῆς μουσικῆς μελῳδίας εὐφραίνοντα τὸν εὐσεβῆ τοῦ Κυρίου λαόν.

---

(1) Διαταγ. Ἀποστ. Βιβλ. β'. κεφ. 59. (2) Α'. Κορινθ. ιδ'. 26. ἴδε καὶ Θεοφύλακτ. αὐτόθι. (3) Plin. Epist. L. X. 97. (4) Ἐπιστ. Ἑορταστικ. ε'. Περὶ ἑορτῆς πνευματικώτερον ἐκφράζεται ὁ ἱερὸς Χρυσορρήμων· « Ἑορτὴ (λέγει) οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ εὐφροσύνη· εὐφροσύνην δὲ πνευματικὴν καὶ νοερὰν οὐδὲν ἄλ-

§. 26. Πάντες, ὡς εἰπεῖν, οἱ θεῖοι τῆς Ἐκκλησίας Πατέρες καὶ Διδάσκαλοι, ὡς καὶ πᾶς σχεδὸν ὁ τῶν πάλαι καὶ ἔπειτα ἐν ἀσκήσει διαλαμψάντων Ὁσίων μυρίανδρος χορὸς, πρὸς τῇ ἄλλῃ σοφίᾳ, καὶ τῆς Ἐκκλησιαστικῆς Μουσικῆς ἐπιστήμονες ἦσαν, ὡς παιδιόθεν μετὰ τῶν ἄλλων μαθημάτων καὶ ταύτην σπουδάζοντες (1), καθ' ἣν καὶ ᾠδὰς καὶ ὕμνους ἐμελοποίουν. Οὕτως οὖν ὁ Ἀποστολικὸς Ἱερόθεος ὁ Ἀθηνῶν, ἐν τῇ Κοιμήσει τῆς Θεοτόκου « θεῖος ἦν ὑμνολόγος, καὶ ἐνθεαστικωτάτας ὑμνῳδίας » ὑμνολόγει (2)· « Καὶ ψαλμοὺς δὲ τότε ἔλεγον ἐμμελεῖς καὶ ᾠδάς» (3). Τὰ δὲ Ἀντίφωνα καὶ τοὺς δύο χοροὺς ὁ Ἀποστολικὸς Ἰγνάτιος ἔταξεν ἐν τῇ ἐκκλησίᾳ (4)· τούτους δὲ παυθέντας μετὰ τῶν ἱερῶν ὕμνων ὑπὸ Παύλου τοῦ Σαμοσατέως, ἀνενέωσαν πάλιν ἐν Ἀντιοχείᾳ, τῷ 331 ἔτει, ὁ Φλαβιανὸς καὶ Διόδωρος (5). Τὰ δὲ ἐν τοῖς ψαλλομένοις Ἀντιφώνοις « Ταῖς πρεσβείαις τῆς Θεοτόκου », καὶ τὸ, «Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ» ἀρχῆθεν καὶ ταῦτα συντεθειμένα, Ἀκροστίχια καὶ Ἀκροτελεύτια καλούμενα, ὑπέψαλλεν ὁ λαὸς, ὡς ἐν ταῖς τῶν Ἀποστόλων διαταγαῖς (Β'. νζ'.) ἀναγινώσκομεν, « Ἕτερός τις » (εἴς τις) « τοὺς τοῦ Δαβὶδ ψαλλέτω ὕμνους, καὶ ὁ λαὸς τὰ ἀκροστίχια ὑποψαλλέτω. » Ταῦτα τὰ Ἀκροστίχια ἐννοεῖ καὶ ὁ ἱερὸς Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν Ἐκκλησιαστ. Ἱεραρχ. γ'. Καὶ Εὐσέβιος δὲ ἐπιμαρτυρεῖ λέγων, « τοὺς εἰωθότας

λοποιεῖ, ἀλλ' ἢ συνειδὸς πράξεων ἀγαθῶν· ὁ δὲ συνειδὸς ἔχων ἀγαθὸν, καὶ πράξεις τοιαύτας ἀεὶ ἑορτάζειν δύναται » (Λόγ. ά. εἰς τὴν Πεντηκοστήν.)

(1) Δίδυμος ὁ Ἀλεξανδρεὺς, κομιδῇ νέος τὰ πρῶτα στοιχεῖα τῶν γραμμάτων μαθὼν, ἀπέβαλε τὰς ὄψεις ὑπὸ νόσου· διὰ δὲ τὴν εὐφυΐαν ἐξ ἀκοῆς μόνης ἐδιδάχθη πᾶσαν τὴν ἐγκύκλιον καὶ φιλόσοφον παίδευσιν, γραμματικὴν, ποιητικὴν, ῥητορικὴν, διαλεκτικὴν, γεωμετρίαν, μουσικὴν, ἀστρονομίαν, καὶ μάλιστα τὰς ἱερὰς Γραφάς. Διὸ τῆς ἐν Ἀλεξανδρείᾳ κατηχητικῆς προέστη Σχολῆς· ἤκμαζε κατὰ τὸ 370. Διήκουσαν δὲ τούτου καὶ Ἱερώνυμος καὶ Ῥουφῖνος. Καὶ Παλλάδιος ἐν τῷ Λαυσαϊκῷ μετ'ἐπαίνων μνημονεύει αὐτοῦ, καὶ ἄλλοι οὐκ ὀλίγοι. Συνέγραψε πολλά· σώζονται δ' ὀλίγα, ἐν οἷς καὶ σχόλια εἰς τοὺς ψαλμοὺς καὶ εἰς τὸν Ἰώβ, καὶ εἰς τὴν Πεντάτευχον ἐν ταῖς σειραῖς ἐκδεδομένα. Ὁ δὲ Σωζόμενος (Ἐκκλησ. ἱστ. γ'. 15.) καὶ αὐτὰ τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα τυφλὸν ἐκμαθεῖν τὸν Δίδυμον ἱστορεῖ. « Λέγεται τοὺς χαρακτῆρας τῶν γραμμάτων σανίδι καταχαραχθέντας εἰς βάθος ἐκμαθεῖν τοῖς δακτύλοις ἐφαπτόμενος· συλλαβὰς δὲ καὶ ὀνόματα καὶ τὰ ἄλλα ἐφεξῆς καταλήψει νοῦ καὶ συνεχεῖ ἀκροάσει κτλ. » Σημείωσαι, ὅπως καὶ παρὰ τοῖς ἀρχαίοις τοιοῦτος ὑπῆρχεν ὁ τρόπος τῆς τῶν τυφλῶν ἐκπαιδεύσεως, οἷος σχεδὸν καὶ ὁ παρὰ τοῖς νεωτέροις ἐξευρεθείς. (2) Διονύσ. Ἀρεοπ. π. θείων ὀνομ. γ'. σελ. 282 (3) Μάξιμ. Σχολ. εἰς Διον. Ἀρεοπ. καὶ Παχυμ. Παραφράσ. αὐτόθι. (4) Σωκρ. ἱστ. ἡ. (5) Θεοδώρ. Ἐκκλ. ἱστ. β'. 19.

λέγεσθαι πρὸς ἡμῶν (ἐν τῇ Ἐκκλησίᾳ) ὕμνους, ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος, οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι, τῶν ὕμνων τὰ Ἀκροτελεύτια συνεξηχοῦσιν » (1). Ὁ δὲ μάρτυς Ἰουστῖνος, τῷ 120 ἔτει, συνέγραψε τὸ μηκέτι σωζόμενον ψάλτης. Καὶ ὁ ἱερὸς Κλήμης ὁ Ἀλεξανδρείας, τῷ 180, συνέταξεν ἔμμετρα ἔπη καὶ ᾄσματα, καὶ ἔμμετρον ᾠδὴν εἰς Χριστόν. Ὁ ἱερὸς Ἱππόλυτος, τῷ 200, ἐποίησεν ᾠδὰς εἰς πᾶσαν τὴν Γραφήν. Ὁ δὲ Γάϊος, τῷ 210, ἱστορεῖ, ὅτι « ψαλμοὶ καὶ ᾠδαὶ ἀδελφῶν ἀπ' ἀρχῆς ὑπὸ πιστῶν γραφεῖσαι, τὸν Λόγον τοῦ Θεοῦ, τὸν Χριστὸν Ἰησοῦν, ὑμνοῦσι θεολογοῦντες » (2). Ἀλλὰ καὶ ὁ δυσσεβὴς Παῦλος ὁ Σαμοσατεὺς, τῷ 280, παύσας, ὡς προείπομεν, τοὺς ἐν τῇ Ἐκκλησίᾳ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ᾀδομένους ὕμνους, ἔταξε γυναῖκας ψαλμῳδεῖν ᾠδὰς εἰς τὴν ἑαυτοῦ ἀθλιότητα, κατὰ τὴν ἡμέραν τοῦ Πάσχα (3). Καὶ ὁ ἅγιος Μεθόδιος, τῷ 290, ἐπίσκοπος Πατάρων, καὶ ὁ ἱερομάρτυς Λουκιανὸς, τῷ 296, ἐμμελῆ συνέταξαν ᾄσματα. Ἐκ τῶν ἀρχαιοτάτων ὕμνων τῶν ἐξ ἀρχῆς ὑπὸ τῶν πιστῶν συντεθέντων ἐστὶ καὶ τὸ « Φῶς ἱλαρὸν, » καὶ τὸ « Δόξα ἐν ὑψίστοις Θεῷ· » γέγραπται δὲ καὶ ἐν ταῖς τῶν Ἀποστόλων Διαταγαῖς (Η'. 35.) Ἀπὸ τοῦ Ἀγγελικοῦ τούτου αἴνου ὠνομάσθη Δοξολογία, ὁ ψαλλόμενος, ἢ ἀναγινωσκόμενος οὗτος ὕμνος κατὰ τὸ τέλος τοῦ Ὄρθρου. Περὶ τούτου ὁ θεῖος Χρυσόστομος ἐν τῇ πρὸς Κολασσαεῖς ὁμιλίᾳ Γ'. οὕτωσὶ λέγει· « Οὐρανὸς ἡ γῆ γέγονεν, ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν οὐρανὸς δέχεσθαι· διὰ τοῦτο εὐχαριστοῦντες λέγομεν, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. » Καὶ ὁμιλίᾳ Θ'. εἰς τὴν αὐτήν· « Τίς ὁ ὕμνος τῶν ἄνω; Τί λέγει τὰ Χερουβίμ; Ἴσασιν οἱ πιστοὶ, τί ἔλεγον οἱ Ἄγγελοι κάτω· Δόξα ἐν ὑψίστοις Θεῷ· διὰ τοῦτο μετὰ τὰς ψαλμῳδίας ὕμνοι, ἅτε τελειότερόν τι πρᾶγμα. » Ἐκ τούτου δείκνυται τρανῶς, ὅτι πάντες οἱ θεῖοι Μελῳδοὶ καὶ Ὑμνογράφοι κατὰ μίμησιν τῶν Ἀγγέλων τῶν ἐν τῇ Γεννήσει τοῦ Ἰησοῦ Χριστοῦ αἰνούντων τὸν Θεὸν καὶ λεγόντων, « Δόξα ἐν ὑψίστοις κτλ. » συνέταξαν τὰ ἱερὰ ᾄσματα. Ὥστε φαί-

---

(1) Ἐκκλ. ἱστ. β'. 17. Καὶ σημ. Κοτελερ. « Ἀκροστίχια δὲ καὶ Ἀκροτελεύτια, τὸ δ' αὐτὸ καὶ ἑλληνικώτερον Ἐφύμνια, λέγονται τὰ ἄκρα τῶν ἔν τισι ψαλμοῖς στίχων, οἷον τὸ τοῦ ρλέ. ψαλμοῦ, Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ὅπερ ὑπέψαλλε συνυπηχῶν καὶ ὁ λαός » (Βλ. Μ. Ἀθανασ. Τόμ. ά. σελ. 558. Com.). (2) Εὐσέβ. Ἐκκλησ. ἱστ. ἑ. 28. (3) Συνόδ. Συλλογ. Τόμ. ά. σελ. 124.

νεται σαφῶς, ὅτι ἡ τοῦ Χριστοῦ Ὀρθόδοξος Ἐκκλησία ἔτι ἀπὸ τῶν Ἀποστόλων αὐτῶν (1), πλὴν τῶν τοῦ Δαβὶδ ψαλμῶν καὶ τῶν ἐννέα Ὠδῶν τῆς Γραφῆς, ἔψαλλε καὶ ὕμνους εἴς τε τὴν ἁγίαν Τριάδα, καὶ τὸν Χριστὸν, καὶ ᾠδὰς εἰς τοὺς Μάρτυρας καὶ ἄλλους Ἁγίους, εἰς δόξαν Χριστοῦ· διότι « Πᾶς αἶνος εἰς Θεὸν ἀναφορὰν ἔχει, » κατὰ τὸν Σχολιαστὴν τοῦ 90 ψαλμοῦ, οὗ ἡ ἐπιγραφὴ, Αἶνος ᾠδῶν Δαβὶδ (2). Ἐπειδὴ δὲ ἐπληθύνοντο οἱ Μάρτυρες, ἀναλόγως ἐπληθύνοντο καὶ αἱ ᾠδαὶ καὶ οἱ ὕμνοι, ὅθεν συνετάχθη καὶ ἡ Ἀκολουθία τῆς Ἐκκλησίας, ψαλλόντων τῶν ψαλτῶν ἀπὸ διφθέρας (3) τοὺς ὑπὸ τῆς ἐκκλησίας δεδοκιμασμένους ὕμνους (4). Περὶ δὲ τοῦ « Φῶς ἱλαρὸν, » τοῦ ἐπιλυχνίου τούτου ὕμνου, εἰ καὶ πολλοί τινες ἐνόμισαν, ὅτι ποίημα τοῦ μάρτυρος Ἀθηνογένους (296) λέγει τοῦτον ὁ Μ. Βασίλειος, ἀλλ' ὅμως ὁ πατὴρ διακρίνει τὸν ὕμνον τοῦ Ἀθηνογένους ἀπὸ τῆς ἐπιλυχνίου εὐχαριστίας, ἣν εἰς τοὺς πάλαι Πατέρας ἀπονέμει, ἐν οἷς λέγει, « Καὶ ὅστις μέν ἐστιν ὁ πατὴρ τῆς ἐπιλυχνίου ἐκείνης εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν, ὁ μέν τοι λαὸς ἀρχαίαν ἀφίησι τὴν φωνήν.—Εἰ δέ τις τὸν ὕμνον τοῦ Ἀθηνογένους ἔγνω, ὃν ὥσπερ τι ἄλλο ἐξιτήριον τοῖς ὑμνοῦσιν αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ πυρὸς τελείωσιν, οἶδε καὶ τὴν τῶν Μαρτύρων γνώμην, ὅπως εἶχον καὶ περὶ τοῦ Πνεύματος » (5). Καὶ φαίνεται ἄρα ὅτι καὶ τὸ Φῶς ἱλαρὸν, τῶν Ἀποστολικῶν ἀνδρῶν ὑμνῳδία ἐστὶν, ὅπερ βεβαιοῖ καὶ Νικηφόρος ὁ Κάλλιστος λέγων, « ἀπὸ τῶν Ἀποστόλων καὶ εἰς ἡμᾶς τοῦτο κατελθεῖν » (6). Καὶ ὁ θειότατος Τρισάγιος Ὕμνος ἀρχαιότατός ἐστι· σύγκειται δὲ

---

(1) « Ἀποστολικὴ παράδοσις (λέγει ὁ ἱερὸς Μάξιμος) τοὺς νυκτερινοὺς τῶν ψαλμῳδιῶν κανόνας παρέδωκε » (Σχόλ. εἰς Διονύσ. Ἀρεοπ. Τόμ. β'. σελ. 129.) (2) Σειρ. εἰς τοὺς ψαλμ. Τόμ. β'. σελ. 871. Corder. (3) Ὁ Κανὼν τῆς ἐν Δαυδικείᾳ (362 ἔτει) Συνόδου διατάσσει οὐδένας ἄλλους ψάλλειν ἐν τῇ Ἐκκλησίᾳ πλὴν τῶν ὡρισμένων ψαλτῶν, καὶ ἀπὸ διφθέρας, ἤτοι ἀπὸ βιβλίου. « Περὶ τοῦ μὴ δεῖν πλέον τῶν κανονικῶν ψαλτῶν, τῶν ἐπὶ τὸν ἄμβωνα ἀναβαινόντων καὶ ἀπὸ διφθέρας ψαλλόντων, ἑτέρους τινὰς ψάλλειν ἐν Ἐκκλησίᾳ » (Κανον. ιέ.) (4) Ἡ ἑορτὴ τῶν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ἀθλησάντων, ἡμέρα ἡ γενέθλια τῶν Μαρτύρων καλουμένη, καὶ διορισθεῖσα οὐχ ἵνα ἐκεῖνοι τὸν ἔπαινον παρ' ἡμῶν λάβωσιν, ἀλλ' ἵνα ἡμεῖς διὰ τῶν ἐπαίνων διανιστῶμεν πρὸς μίμησιν, ὡς ὁ θεῖος διδάσκει Χρυσόστομος (παρὰ Φωτ. ἐν Μυριοβίβλῳ 274), ἐτελεῖτο κατὰ τοὺς ἀρχαιοτάτους χρόνους ἐν τοῖς κοιμητηρίοις, ἢ ἐν ταῖς κρύπταις, μετὰ ψαλμῳδίας καὶ ἀναγνώσεως ἐκ τῆς ἁγίας Γραφῆς καὶ προσευχῶν εἰς τοὺς Μάρτυρας, ἵνα ὡς πᾶσαν πρὸς τὸν Θεὸν παρρησίαν ἔχοντες πρεσβεύωσιν ὑπὲρ τῶν ἀνθρώπων. (5) Π. τοῦ ἁγ. Πνεύμ. §. κθ'. (6) Ἐκκλησ. ἱστ. ιή. 51.

λή.

ἔκ τε τοῦ θεοπνεύστου ῥητοῦ, « ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν Ἰσχυρὸν, τὸν Ζῶντα » (1), καὶ ἐκ τοῦ τρισσοῦ τῆς τῶν Σεραφὶμ δοξολογίας Ἅγιος (Ἡσ. ϛ'. 3)· Ἅγιος ὁ Θεὸς (ὁ Πατὴρ). Ἅγιος Ἰσχυρὸς (ὁ Υἱός). Ἅγιος Ἀθάνατος (τὸ Πνεῦμα, τὸ ζῶν καὶ ζωῆς χορηγόν) » (2). Τοῦτο μαρτυρεῖ καὶ Θεόδωρος ὁ Ἡρακλείας (τῷ 335), λέγων· « Ἐκ τούτου (τοῦ Ψαλμοῦ) καὶ ὁ ἔνθεος ὕμνος εἴληπται, τὸ Ἅγιος ὁ Θεός » (3). Καὶ Καισάριος δὲ (τῷ 360), ὁ τοῦ Θεολόγου Γρηγορίου ὁμαίμων μνημονεύει τοῦ τρισαγίου (4). Καὶ διὰ θαύματος ἐδεδεκιώθη ἐν Κωνσταντινουπόλει ὁ τρισάγιος ὕμνος, ἐπὶ Θεοδοσίου τοῦ νέου καὶ Πρόκλου Πατριάρχου (τῷ 436), ὅτε, διὰ τοὺς βλασφημοῦντας εἰς τὸ Τρισάγιον (5), παιδίον εἰς ὕψος ἀρθὲν, ἐμυήθη καὶ ὑπ' Ἀγγελικῆς διδασκαλίας τὸν ὕμνον (6). Διὸ καὶ Ἀκάκιος ὁ Κωνσταντινουπόλεως, καὶ Φῆλιξ ὁ Ῥώμης (τῷ 480) « Ἀγγέλων ὑμνῳδίαν, καὶ χερουβικὸν τοῦτον ὕμνον, καὶ τρισάγιον Θεολογίαν», ἀποκαλοῦσιν ἐν ταῖς πρὸς τὸν Κναφέα ἐπιστολαῖς αὐτῶν (7). Καὶ ἡ ΣΤ'.ἁγία Οἰκουμενικὴ Σύνοδος (Καν. πά.), μετὰ τῶν πάλαι καὶ πρὸ αὐτῆς ἁγίων Πατέρων, ἀναθεματίζει τοὺς ἐν τῷ Τρισαγίῳ μετὰ τὸ Ἀθάνατος, προστιθέντας τὸ « ὁ σταυρωθεὶς δι' ἡμᾶς», οἷον Πέτρον τὸν δυσσεβῆ Κναφέα,καὶ Ἀναστάσιον τὸν Αὐτοκράτορα,τὸν ὁμόφρονα αὐτῷ (8). Τοῦτον δὲ τὸν Τρισάγιον ὕμνον Θεοδόσιος ὁ Αὐτοκράτωρ οὕτω ψάλλεσθαι διέταξε κατὰ πάσας τὰς Ἐκκλησίας τῆς Οἰκουμένης. Καὶ πᾶσαι γοῦν (πλήν τινων) αἱ λοιπαὶ χριστιανικαὶ Ἐκκλησίαι τὸν Ἀγγελικὸν τοῦτον ὕμνον καὶ νῦν ἀναμέλπουσιν· ἀλλὰ καὶ ἡ Δυτικὴ Ἐκκλησία ἅπαξ τοῦ ἐνιαυτοῦ, τῇ Μ. Παρασκευῇ, Ἑλληνιστὶ τοῦτον ἐκφωνεῖ· τὸν δὲ λοιπὸν χρόνον καθ' ἑκάστην ὑμνολογεῖ αὐτὸν κατὰ τὴν ἀρχαιοτάτην λατινικὴν μετάφρασιν. Ἀρχαῖον ὡσαύτως ἐστὶ καὶ τὸ Δόξα Πατρί· καὶ τὸ, Δεῦτε προσκυνήσωμεν, κτλ.

§. 27. Ἀλλὰ καὶ κατὰ τὴν Δυτικὴν Ἐκκλησίαν ὑπῆρχον ἔκπαλαι

---

(1) Ψαλμ. μά. 2. (2) Βλ. Δαμασκ. Ὀρθ. πίστ. πρβλ. καὶ Λέοντος τοῦ Σοφοῦ Δοξαστ. τῶν Ἑσπεριν. τῆς Πεντηκοστ. (3) Σειρ. εἰς τοὺς ψαλμ. Τόμ. ά. σελ. 777. (4) Διαλόγ. ά. Ἐρωτήσ. κθ'. (5) Κωδην. Π. Κωνστ. (6) Δαμασκ. Π. Ὀρθ. Πίς. Βιβλ. Γ'. κεφ. ι'. (7) Βλ. Συνόδ. Συλλογ. τόμ. β'. σελ. 245, 250. (8) Εὐάγρ. Ἐκκλ. ἱς. γ'. 44. Περὶ τοῦ Τρισαγίου Βλ. καὶ Θεοφάν. χρον. 115. Θεόδωρ. Ἀναγνώς. Βιβλ. ά. Νικηφ. Ἐκκλ. ἱς. ιδ'. 46: πρβλ. καὶ Φωτ. Ἀναγν. 288. καὶ Δοσιθ. Δωδεκάβ. σελ. 312.

μελῳδοί, οἵτινες, πλὴν τῶν ἐξ ἀρχαίων χρόνων ἐν χρήσει ψαλμῶν καὶ τῶν ἐκ στίχων τῆς ἁγίας Γραφῆς συντεθειμένων συντόμων δοξολογιῶν καὶ ὕμνων, εἰσήγαγον εἰς αὐτὴν καὶ ᾄσματα συντεταγμένα ὑπ' αὐτῶν. Τοιοῦτοι ἦσαν Λακτάντιος τῷ 303 ἔτει, Ἱλάριος ὁ Πικτώνων Ἐπίσκοπος τῷ 355, Ἀμβρόσιος ὁ ἱερὸς Μεδιολάνων Ἐπίσκοπος τῷ 374 (1), Οὐϊκτωρῖνος τῷ 396, καὶ εἴτις ἄλλος τῶν ἀρχαίων. Καὶ αὐτοὶ δὲ οἱ αἱρετικοὶ συντάττοντες ᾠδάς θρησκευτικάς, ἐπειρῶντο, ἵνα διὰ τῆς τοῦ μέλους ἡδονῆς θέλγοντες τοὺς ἀμαθεστέρους ἑλκύωσιν εἰς τὰ ἑαυτῶν διδάγματα, ἀλλ' οἱ ὀρθόδοξοι ἅγιοι Πατέρες πρὸς τὰς ᾠδὰς ταύτας ἀντέταττον ἄλλας, ψαλλομένας ὑπὸ τῶν εὐσεβῶν. Οὕτω, Βαρδησάνης τις, ὀπαδὸς τῆς Οὐαλεντιανιανῆς αἱρέσεως, ἐξ Ἐδέσσης τῆς Μεσοποταμίας (2), εἰδήμων τῆς τε Ἑλληνικῆς καὶ τῆς τῶν Σύρων γλώσσης (3), ἐπὶ Μάρκου Αὐρηλίου ἀκμάσας, κατὰ τὸν Εὐσέβιον (4), εἶχεν υἱὸν Ἀμμόνιον καλούμενον, ἐν Ἀθήναις σπουδάσαντα τὰ ἑλληνικὰ μαθήματα καὶ πολλὰ βιβλία γράψαντα (5)· πρῶτος οὗτος ὁ Ἀμμόνιος, ὥς φησιν ὁ Ἐκκλησιαστικὸς ἱστοριογράφος Σωζόμενος (6), ὃς καὶ Ἁρμόνιον ὀνομάζει αὐτὸν, προσαρμόσας τὰς ἑαυτοῦ δόξας πρὸς τὴν λύραν, συνέμιξεν αὐτὰς εἰς τὰ ἴδια συγγράμματα, εἰσαγαγὼν δὲ εἰς τὴν πάτριον τῶν Σύρων γλῶσσαν μέτρα καὶ νόμους τῆς Μουσικῆς, παρέδωκεν αὐτὴν εἰς χοροὺς ἵνα ψάλλωσιν, ὡς πολλάκις οἱ Σύροι ἔψαλλον, χρώμενοι οὐ τοῖς συγγράμμασιν Ἁρμονίου, ἀλλὰ ταῖς μελῳδίαις αὐτοῦ· ἀλλ' ὁ ἁγιώτατος Ἐφραὶμ ὁ Σύρος, ὁρῶν τοὺς ἑαυτοῦ συμπολίτας, θελγομένους ὑπὸ τοῦ ῥυθμοῦ τῆς μελῳδίας ταύτης καὶ κατὰ μικρὸν ἐθιζομένους ταῖς ἐκείνου δοξασίαις, συνέταξε καὶ αὐτὸς ἄλλους ὕμνους συμφώνους τῇ διδασκαλίᾳ τῆς Ὀρθοδόξου Ἐκκλησίας, οὓς μόνους ἔψαλλον οἱ Σύριοι, ἀπομαθόντες τὰ μέλη τοῦ Ἁρμονίου. Ἐκτὸς τοῦ προῤῥηθέντος αἱρετικοῦ Παύλου τοῦ Σαμοσατέως, καὶ Ἄρειος τῷ 315, συνέταξεν ᾄσματα, Ναυτικά τε καὶ Ἐπιμύλια καὶ Ὁδοιπορικὰ κτλ (7). Καὶ Ἀπολλινάριος, καὶ πρὸ αὐτοῦ Οὐαλεντῖνος (2),

(1) Ἰδ. τὴν 85 Ἐπιστολὴν αὐτοῦ. (2) «Ἐκ Μεσοποταμίας μὲν τὸ γένος ἦν τῶν κατὰ τὴν Ἐδεσσηνῶν πόλιν κατοικούντων.» Ἐπιφάν. ἐν Αἱρέσ. νς'. ά. (3) «Βαρδησάνης ἱκανώτατός τις ἀνὴρ, ἔν τε τῇ Σύρων φωνῇ διαλεκτικώτατος». Εὐσέβ. Ἐκκλ. Ἱστ. Δ'. λ'. (4) Αὐτόθ. (5) Θεοδώρητ. Αἱρετικ. κακομωθ. Α'. κϛ'. (6) Ἐκκλ. ἱς. Γ'. ις'. (7) Φιλοστόργ. ἱστ. Β'. 6'.— Μ. Ἀθανάσ. Τόμ. ά. σελ. 407—312. (1) Tertul. de Carne Christ. C. 17.

καὶ Ἱέραξ τις (1) καὶ οἱ Δονατισταὶ (2). Ὁ δὲ ἱερὸς Χρυσόστομος, πρὸς τὰς τῶν Ἀρειανῶν ᾠδὰς, ἄλλας ἀντέταττεν ἵνα ψάλλωνται ὑπὸ τῶν Ὀρθοδόξων.

